**15.** Δεῖ δὲ μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων ὡς ἔτυχε χρῆ-
F σθαι. καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις κροτοθορύβους γίνεσθαι παρ' αὐτῷ λέγων ἀηδής ἐστιν. οἱ δὲ τὰς ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες οὗτοι καὶ τὸ 'θείως' καὶ 'θεοφορήτως' καὶ 'ἀπροσίτως' ἐπιλέγοντες, ὡς οὐκέτι τοῦ 'καλῶς' καὶ τοῦ 'σοφῶς' καὶ τοῦ 'ἀληθῶς' ἐξαρκοῦντος, οἷς οἱ περὶ Πλάτωνα καὶ Ἰσοκράτη καὶ Ὑπερείδην
46 ἐχρῶντο σημείοις τῶν ἐπαίνων, ὑπερασχημονοῦσι | καὶ διαβάλλουσι τοὺς λέγοντας ὡς ὑπερηφάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. σφόδρα δ' ἀηδεῖς εἰσι καὶ οἱ μεθ' ὅρκου τοῖς λέγουσιν ὥσπερ ἐν δικαστηρίῳ τὰς μαρτυρίας ἀποδιδόντες. οὐχ ἧττον δὲ τούτων οἱ περὶ τὰς ποιότητας ἀστοχοῦντες, ὅταν φιλοσόφῳ μὲν ἐπιφωνῶσι 'δριμέως', γέροντι δ' 'εὐφυῶς' ἢ 'ἀνθηρῶς', τὰς τῶν παιζόντων καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ τοὺς φιλοσόφους μετακομίζοντες καὶ λόγῳ σωφρονοῦντι προσφέροντες ἔπαινον ἑταιρικόν, ὥσπερ ἀθλητῇ κρίνων ἢ ῥόδων στέφανον, οὐ δάφνης οὐδὲ κοτίνου
B περιτιθέντες. Εὐριπίδης μὲν οὖν ὁ ποιητής, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πεποιημένην ἐφ' ἁρμονίας εἷς ἐγέλασεν, 'εἰ μή τις ἦς ἀναίσθητος' εἶπε 'καὶ ἀμαθής, οὐκ ἂν ἐγέλας ἐμοῦ μιξολυδιστὶ ᾄδοντος'. ἀνὴρ δ' ἂν οἶμαι φιλόσοφος καὶ πολιτικὸς ἀκροατοῦ διακεχυμένου τρυφὴν ἐκκόψειεν εἰπών 'σύ μοι δοκεῖς ἀνόητος εἶναι καὶ ἀνάγωγος· οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος ἢ νουθετοῦντος ἢ διαλεγομένου περὶ θεῶν ἢ πολιτείας ἢ ἀρχῆς ἐτερέτιζες καὶ προσωρχοῦ τοῖς λόγοις'. ὅρα γὰρ ἀληθῶς οἷόν ἐστι φιλοσόφου λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν
C ὑπὸ τῶν ἔνδον βοώντων καὶ ἀλαλαζόντων πότερον αὐλοῦντος ἢ κιθαρίζοντος ἢ ὀρχουμένου τινὸς ὁ ἔπαινός ἐστι.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/98 UNIVERSITÄT LEIPZIG